# ΕΥΡΙΠΙΔΟΥ

## ΗΡΑΚΛΕΙΔΑΙ.

ΠΑΛΑΙ ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον,
ὁ μὲν δίκαιος, τοῖς πέλας πέφυκ', ἀνὴρ,
ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
πόλει τ' ἄχρηστος, καὶ ξυναλλάσσειν βαρὺς,
αὑτῷ δ' ἄριστος. οἶδα δ' οὐ λόγῳ μαθών.
ἐγὼ γὰρ αἰδοῖ, καὶ τὸ συγγενὲς σέβων,
ἐξὸν κατ' Ἄργος ἥσυχον ναίειν, πόνων
πλεῖστον μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
ὅτ' ἦν μεθ' ἡμῶν. νῦν δ' ἐπεὶ κατ' οὐρανὸν
ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς
σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας.
ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατὴρ,
πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν.
ἀλλ' ἐξέδραμεν. καὶ πόλις μὲν οἴχεται,
ψυχὴ δ' ἐσώθη. φεύγομεν δ' ἀλώμενοι,
ἄλλην ἀπ' ἄλλης ἐξορίζοντες πόλιν.
πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς

4. συναλλάσσειν F. ξυναλλάξαι
7. ἡσύχως
8. πλείστων——Ἡρακλέϊ,
10. τἀκείνου
14. ἀλλ' ἐξέδραμον.